σαρκίῳ περικεκλεισμένοι 1), ἐκ τῆς ἀπαυγῆς ἐκείνης τοῦ νοητοῦ ἡλίου εἰς ἔννοιάν τινα καὶ φαντασίαν θεοπρεπῆ, ὥσπερ ἀπό τινος κατοπτρικοῦ μηχανήματος, τοῦ τε πόθου καὶ τῆς συζητήσεως, σκιοφανεῖς ἀκτῖνας ἕλκοντες, ἀνάγεσθαι δύνανται· δ'. Ὃν μὲν οὖν διασώζει λόγον ὁ ἥλιος ἐν τοῖς αἰσθητοῖς, τοιαύτην ἂν περὶ τοῦ θείου δύναταί τις ἔννοιαν, ὡς ἐξ εἰκόνος, ἐν τοῖς νοητοῖς δοῦναι καὶ λαβεῖν. γ'. Ἀλλὰ γὰρ καὶ ἐξ ἀποφάσεως τῶν ὄντων ἁπάντων εἰς θεωρίαν ἀναγόμεθα τῆς ἐξῃρημένης τῶν ὄντων οὐσίας τε καὶ θεότητος· ὃ γὰρ μηδέν ἐστι τῶν πάντων, κρεῖττον δὲ τοῦ παντός, τοῦτ' ἂν εἴη Θεός, ὃς προήγαγέ τε ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὸ πᾶν, καὶ τῆς τῶν προηγμένων διαμονῆς καὶ ἐναρμονίου κινήσεως τὴν πρόνοιαν ἔχει. δ'. Καὶ πρό γε τούτων, ὅτι ἐστὶ Θεός, κοινῇ πᾶσιν 2) ἐγκατέσπαρται ταῖς ἀνθρωπίναις διανοίαις, τῆς ἐκεῖθεν αὐγῆς, ὡς δι' ἐμφάσεων, διανιστώσης ἡμῶν τὸν νοῦν καὶ φωταγωγούσης, εἰ καὶ μὴ πρὸς τὸ εἰδέναι τί ποτέ ἐστι Θεός, ἀλλ' οὖν γε μὴ ἀγνοεῖν, ὅτι περ ὅλως ἐστίν. έ. Εἰ γὰρ πλῆθος ἅπαν, εἴτε τὴν τοῦ συνεχοῦς ὀνομασίαν δεχόμενον, εἴτε τῷ διωρισμένῳ περιγραφόμενον, ὥσπερ εἰς ἄπειρον δύναται τέμνεσθαι καὶ σκεδάζεσθαι, οὕτω καὶ πρὸς ῥοὴν καὶ διαφθορὰν ἀποφέρεσθαι, μετοχῇ πάντως ἑνός τινος ἐξήρθη τοῦ μὴ ταῦτα παθεῖν αὐτίκα τῷ 3) προελθεῖν, ἀλλὰ μονῆς ἀπολαύειν καὶ συνοχῆς· μετοχῇ δ' ἑνός, οὐ τοῦ κυρίως καὶ ὑπερουσίου ἑνὸς (ἐπεὶ [τότε] 4) οὐδὲ τμητὰ καὶ σκεδαστά, οὐδὲ ῥεούσης ἂν ὅλως εἴησαν καὶ φθειρομένης φύσεως), ἀλλ' ἑνὸς μετοχῇ, ὃ δὴ σκιάν τις ἀμυδρὰν εἰπὼν τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός, ἐγγὺς ἂν εἰκασίας γένοιτο, τῆς μηδὲν ἀνατυπουμένης τολμηρόν. Τοιοῦτον δέ ἐστι τὸ παρ' ἡμῖν ἕν, οὗ καὶ τὸ πλῆθος, ὥσπερ εἴρηται, μετέχον, τμητὸν μέν ἐστι καὶ σκεδαστὸν καὶ ῥευστόν, οὔπω δὲ τῇ προόδῳ 5) συνδιερρύηκεν 6), ὥσπερ οὐδὲ διατέτμηται. ς'. Ταύτῃ 7) τοι καὶ αὐτὸ τὸ πλῆθος, ἀόριστον ὂν καὶ ἀνείδεον τῇ γε φύσει τῇ οἰκείᾳ, δι' ἐκείνου τε 8) περιορίζεται καὶ εἰδοποιεῖται· τετρὰς γὰρ καὶ ἑπτὰς καὶ δεκὰς καὶ τριακὰς τοῦ παρ' ἡμῖν ἑνός εἰσιν, ὥσπερ ἰνδάλματα, προβολαί, τὸ πλῆθος ἑνοποιοῦσαι καὶ εἰδοποιοῦσαι καὶ περιορίζουσαι ζ'. Ὡσαύτως δέ, καὶ εἰ τὸ ἡνωμένον ἅπαν οὐχ ἑαυτὸ ἑνοῖ, ἀλλὰ τῇ ἑνότητι ἥνωται, καὶ αὐτὸ ἄρα τῇ τοῦ ἑνὸς μετοχῇ τὸ ἡνωμένον ἔχει σωζόμενον, ἑνὸς δὲ κἀνταῦθα, οὐ τοῦ κυρίως καὶ ὑπερουσίου ἑνός, ἀλλ' ὥσπερ εἴρηται, τοῦ ἀπολάυοντος τῆς ἐκεῖθεν σκιᾶς. ή. Ἔτι δέ, εἰ ἔστι μὲν ἐν τοῖς οὖσι λαβεῖν τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, καὶ αὐτὸ δὲ τὸ ἄρχον τὴν τοῦ ἀρχομένου τάξιν ὑποδυόμενον, δῆλον ὅτι τὸ ἄρχον οὐκ ἂν εἴη κυρίως ἄρχον, διὰ τοῦ ἄρχεσθαι καθαιρούμενον τῆς ἀρχῆς· εἰ δὲ 9) τοῦτο, ἔστι τις ὑπερανῳκισμένη 10) καὶ ἄναρχος ἀρχή, ἐξ ἧς τὸ ἄρχον, τὴν ἀμυδρὰν τοῦ εἰκάσματος δεξάμενον σκιάν, τὴν σχέσιν εἵλκυσε καὶ τὴν ὀνομασίαν τῆς ἀρχῆς. θ'. Καὶ ἄλλως δέ, ὥσπερ ἐστὶ τελευταῖόν τι λαβεῖν ἀρχόμενον μόνον, οὐκ ἄρχον δέ, οὕτως ἐστὶν ἀναθεωρεῖν, ὡς ἔστι τις ὑπερτάτη καὶ ἐξῃρημένη τῶν ἄλλων ἁπάντων ἄναρχος ἀρχή, ἥτις ἂν ἐφαρμόζουσα εἴη τῇ ὑπὲρ νοῦν καὶ ὑπὲρ ἔννοιαν πᾶσαν θεότητι καὶ θεαρχίᾳ. ί. Εἰ δέ ἐστιν ἐν τῇ τῶν ὄντων φύσει καὶ ἀγαθὸν εὑρεῖν, μᾶλλον δὲ πολλὰ καὶ ποικίλα τὰ ἀγαθά (ὃ γὰρ μὴ ἀπολαύει τινὸς ἀγαθότητος, ἀλλ' εἰς ἄκρατον ἥκει κακίας, οὐδ' ὑφεστάναι ὅλως δύναται· σκεδασθείη γὰρ ἂν αὐτίκα καὶ διαφθαρείη, εἴπερ ἡ φθορὰ καὶ ὁ σκεδασμὸς τοῦ κακοῦ), δῆλον, ὡς ἔστι τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον μετέχοντα τ' ἀγαθοῦ. Εἰ δέ ἐστι τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον μετέχοντα τ' ἀγαθοῦ, οὐκ ἀμφίβολον, οὐδ' ὅτι ἀπὸ τῶν μετασχόντων κατὰ πρώτην, ἢ κατὰ δευτέραν, ἢ καὶ κατ' ἄλλην τινὰ τάξιν, ἀγαθύνεται τὰ μεταλαμβάνοντα· πάντα δ' ὅμως ὑπερανῳκισμένης 11) τινὸς ἀγαθότητος χορηγίᾳ καὶ ἀπολαύσει τὴν τοῦ ἀγαθοῦ ἐν ἑαυτοῖς χάριν φέρει. Εἰ δὲ τοῦτο, ἔστι τις ἄρα ὑπεράγαθος ἀγαθότης, ἐξ ἧς τοῖς ἀγαθυνομένοις ἡ τοῦ ἀγαθύνεσθαι κατὰ ἀναλογίαν τῶν δεχομένων παρέχεται δωρεά. Ἐκ τοίνυν τῶν εἰρημένων φανερόν ἐστι δυνατὸν εἶναι θεωρίαν θηράσαι τινά, ὅτι τέ ἐστι Θεός, καὶ οὗτος, ὑπερούσιον ἕν, καὶ ὑπεράρχιος ἀρχή, καὶ ὑπεράγαθος ἀγαθότης, ὡς πηγὴ ἀγαθότητος· καὶ [ἐξ] 12) ἄλλων δ' ὥσπερ ἰνδαλμάτων τινῶν καὶ εἰκασμάτων 13), καθάπερ ἐξ ἀρχῆς εἴρηται, δυναμένων ἀπὸ τῶν ὑστέρων παραληφθῆναι· δι' ὧν ἔστι εἰς τὸ ἀμήχανον ἐκεῖνο καὶ ἀνέκφραστον κάλλος τῆς ὑπερουσίου καὶ ὑπερφυοῦς θεότητος ἐνατενίζειν, μάλιστά γε καὶ ὅτι μηδὲ χαλεπὸν διὰ τῆς προειρημένης μεθόδου τοιαῦτα συλλέγειν. Πρός γε 14) τὴν παροῦσαν χρείαν καὶ τὴν συνέχουσαν ἡμᾶς τῶν ὑπογραφέων ἐρημίαν καὶ τῶν βιβλίων τὴν αἰχμαλωσίαν, ἱκανά σοι καὶ ταῦτα.

---

1) Περιβεβλημένοι Ε· — 2) Οὕτω καὶ Ε. ἀλλὰ γρ. πάσαις — 3) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. τοῦ — 4) Ε. ἐν δὲ ΑΡ. λείπει τὸ τότε — 5) Περιόδῳ Ε. — 6) Συνδιερρύη μὲν Ε. — 7) Τοιαύτη τοι Ε. — 8) Ἴσ. γρ. καί. — 9) Οὐδὲ Ε. — 10) Ὑπεράνω κειμένη Ε. — 11) Ὑπεράνω κειμένης Ε. — 12) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ Ε. λείπει ἡ ἐξ. — 13) Τὰ «τινῶν καὶ εἰκασμάτων» λείπουσιν ἐκ τοῦ Ε. — 14) Οὕτω καὶ Ε. ἀλλ' ἴσ. γρ. πρὸς γεμήν.

ΡΠ.

Διὰ τί μέχρι τριάδος τὸ Θεῖον προάγεται, καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε πορρωτέρω παρατείνεται 1);

§. ά. Ὁ μὲν οὖν ἐν ἀποῤῥήτοις λόγος καὶ νικῶν τὴν ἐν ἐσόπτροις καὶ αἰνίγμασι γνῶσιν, ὁρίοις ἂν ἄλλοις εἴη θεοπτικωτέρας τε καὶ οὐρανίας μυσταγωγίας θαλαμευόμενος· ἃ δὲ βλέπειν διὰ τοῦ παρασκηνίου καὶ τῶν 2) πηλίνων ἀκοῶν δυνατὸν ἐνωτίζεσθαι, ταῦτα δὲ ἄρα προτιθέντες, κἂν ὕστερα ᾖ, διὰ τῶν πρώτων θηρᾶν οὐκ ἔχοντες τὸ ζητούμενον, οὐκ ἂν ἐν εὐθύναις τῶν σεσιγηκότων ἐσόμεθα. Ἓν μὲν οὖν αὐτῶν ἐστι καὶ ἱερώτερον φάναι, ὡς ὁ μυστικὸς καὶ ἀσίγητος ὕμνος τῶν Χερουβεὶμ διὰ τῆς τριαδικῆς ἁγιότητος εἰς μίαν συναγόμενος κυριότητα, τὴν τριαδικὴν τῆς θεαρχίας ὑπογράφει τελειότητα. Καὶ τῶν ὀνομάτων δὲ ἡ ἁπλότης κατὰ συνέχειαν προαγομένη 3) καὶ μηδὲν μέσον συνεπεισάγουσα, ἀλλὰ καὶ τὸ τοῦ ῥήματος ἀπαράλλακτον, οὐκ ἔλαττον μὲν εἰκονίζει τὴν τῆς ὑπερουσίου οὐσίας ἁπλότητα, παραπλησίως δὲ ἐκδιδάσκει καὶ τὸ τῶν ὑποστάσεων πρὸς ἀλλήλας ἀδιάστατον, καὶ τὸ συμφυὲς αὐτῶν, καὶ κατ' οὐσίαν ἀπαράλλακτον.

§. 6'. Ἔτι δὲ ἐπεὶ τοῖς τελείοις ἥ τε ἀρχὴ καὶ ἡ μεσότης καὶ ἡ τελειότης πρόσφορον, πρῶτος δὲ τῶν ἄλλων πάντων 4) ἀριθμῶν ὁ τρεῖς ἀπεκληρώσατο ταῦτα, εἰκότως ἀπὸ τῶν γνωρίμων ἡμῖν σύμβολά τινα καὶ ἴχνη ἡ ἄρρητος καὶ ἀνεπινόητος θεότης τῆς ἐπιγνώσεως αὐτῆς ἐλλάμψαι προνοουμένη, διὰ τῆς τριαδικῆς οὐκ ἀπηξίωσεν ἐμφανίζεσθαι θεολογίας. Ἔτι δὲ καὶ διότι περ ὅσα θεοπρεπῆ καθορῶμεν ἐν τῷ Θείῳ 5), εἰς τρία συγκεφαλαιοῦσθαι φύσιν ἀπ' ἀρχῆς εὑρίσκομεν εἰληφότα, καὶ οὔτε εἰς ἐλάττονα, οὔτε εἰς πλείονα συναγόμενα. Εἰς ποῖα δὴ ταῦτα; εἰς οὐσίαν, καὶ 6) δύναμιν, καὶ ἐνέργειαν· οὔτε γὰρ ὅσιον θεότητος τὴν δύναμιν ἀφελεῖν, οὐ μὴν 7) οὐδὲ τὴν ἐνέργειαν, καὶ πολλῷ μᾶλλον οὐδὲ τὴν οὐσίαν· οὐμὴν οὐδ' εἰς ταὐτόν ἐστι καὶ μίαν ὑπόστασιν συναγαγεῖν ταῦτα, καὶ λόγον ἕνα καὶ τὸν αὐτὸν ἀποδοῦναι δυνάμεώς τε καὶ οὐσίας, ἢ δυνάμεως καὶ ἐνεργείας, ἢ ἐνεργείας καὶ οὐσίας, ἀλλ' οὐδὲ (πολλοῦ δεῖ) τοῦ συναθροίσματος αὐτῶν. Τριῶν οὖν ὄντων, εἰς ἃ τὰ ἄλλα τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ ἰδιωμάτων συγκεφαλαιοῦται καὶ ἀνάγεται, εἰκότως τὸ Θεῖον οὔτε ἐντὸς τῆς τριάδος περικλείεται, οὔτε μὴν ταύτης ὑπερεκτείνεται.

§. γ'. Πῶς δ' ἀναχθείη, καὶ τίνα εἰς ἕκαστον 8) τῶν θεολογουμένων τριῶν ἐννοιῶν, οὔτε ἔργον εὑρεῖν, οὔτε μὴν εὑρόντας, μὴ καὶ ἄλλους ποιῆσαι τῆς ὠφελείας κοινωνούς. Αὐτίκα τὸ ὑπερούσιον, τὸ ἀγαθόν, τὸ ἀσχημάτιστον, τὸ ἕν, τὸ ἄποσον, καὶ τὰ ὅμοια, τὴν οὐσίαν εἴη ἂν παραδηλοῦντα, εἰ καὶ τὰ μὲν ἀμέσως, τὰ δέ τινος συνεπιθεωρουμένης μεσότητος· τὸ δὲ αὐτεξούσιον, τὸ αὐτοδέσποτον, τὸ κύριον, τὸ δημιουργικόν, τὸ παντοδύναμον, καὶ τὰ παραπλήσια, ἐν τῇ τῆς δυνάμεως περιλαμβάνεται θεωρίᾳ· ἡ δημιουργία δέ, καὶ ἡ πρόνοια, καὶ ἡ σωτηρία, καὶ τῶν χαρισμάτων ἡ διανομή, καὶ ἡ δωρεά, καὶ τὰ σύστοιχα, τὴν ἐνέργειαν διαφόροις καὶ μυστικοῖς ῥήμασιν ἱερολογοῦσιν· εἰ δ' ἔστι 9) τινὰ τῶν θεοπρεπῶν ὀνομάτων τε καὶ νοημάτων οὐκ 10) εἰς ἓν τῶν τριῶν μόνον, ἀλλὰ δι' ὅλης ἥκοντα τῆς Τριάδος, οὐ μόνον οὐδὲν τοῦτο 11) μάχεται τῷ τῆς ἀληθείας λόγῳ, οὐδὲ τῇ θεωρίᾳ τῆς τριαδικῆς θεολογίας, ἀλλ' ἐπὶ πλέον τε μᾶλλον αὐτῶν τὸ ἀσφαλές τε καὶ ἀνεπίληπτον βεβαιοῖ, ἀλλὰ καὶ δευτέρων λογισμῶν δίδωσιν ἀφορμήν, δι' ὧν τὸ Θεῖον ἐπιδείκνυται εἰς τριαδικὴν εὐλόγως ἀναπλούμενον περιοχήν.

§. δ'. Ὡσαύτως δὲ καὶ εἴ τις δι' ἑτέρας ἐπιβολῆς εἰς τριαδικὴν δείξει συναρίθμησιν τὰ θεοπρεπῆ τῶν ὀνομάτων τε καὶ νοημάτων περατούμενα, οὐχ ἐξάδα διὰ τοῦτο, οὔμενουν οὐδὲ πολλοῦ δεῖ 12), ἀλλ' οὐδὲ πλῆθος ἑνάδος, ἢ τινος ἄλλης πληθύος παρασχεῖν αἰτίαν λάβοι συνεπιφέρεσθαι, τοὐναντίον δὲ τὸ τῆς Τριάδος ἀπαράγραπτον διαφόροις ἐπιδείξει λόγοις βεβαιούμενον, καὶ τὸ ἀμετάθετον ἐπὶ μᾶλλον παραστήσει τῆς θεολογίας, καὶ ἀναλλοίωτον· τὸ γὰρ μὴ μιᾷ θεωρίᾳ τὸ πρὸς 13) συστολὴν ἀῤῥεπὲς καὶ ἐξάπλωσιν τῆς ὑπερφυοῦς Τριάδος καταλαμβάνεσθαι, πολλαχόθεν δὲ τὸ ἀμετακίνητον αὐτῆς καὶ ἐστηριγμένον ἀνακαλύπτεσθαι, πῶς οὐκ ἂν εἴη τῆς ἐξ ἀρχῆς ἀποδοθείσης αἰτίας βεβαίωσις ἀνεξέλεγκτος; Εἰ μὲν γὰρ ἐπ' ἄλλου καὶ ἄλλου ὑποκειμένου, ἀλλὰ μὴ ἐπὶ τῆς αὐτῆς καὶ ἑνιαίας θεότητος ἡ τριαδικὴ συγκεφαλαίωσις διαφόροις θεωρίαις ἐπεδείκνυτο, οὐδὲν ἐκώλυε τῷ πλήθει τῶν ἐνθυμημάτων

---

1) Βλ. καὶ Ζήτημ. ΚΑ, ΣΖ, ΡΟΒ. — 2) Ἐν Ε. λείπει τὸ τῶν. — 3) Προσαγομένη. Ε· — 4) Λείπει τὸ πάντων ἐκ τοῦ Ε. — 5) Θεῷ Ε. — 6) Εἰς Ε. — 7) Οὔτε μὴν Ε. — 8) Οὕτω καὶ Ε. ἀλλ' ἴσ. γρ. ἑκάστην. — 9) Ἔτι Ε. — 10) Καὶ εἰς Ε. — 11) Τούτῳ Ε. — 12) Τὰ «οὔμενουν οὐδὲ πολλοῦ δεῖ» λείπουσιν ἐκ τοῦ Ε. — 13) «Θεωρίᾳ πρὸς συστολὴν καὶ ἐξάπλωσιν τὸ ἀῤῥεπὲς τῆς ὑπερφ.» Ε.